ΣΟΛΩΝ

Ἢν ἀποκρίνῃ μηδὲν ἀγανακτῶν, μάθοις ἄν.

ΚΡΟΙΣΟΣ

Ἐρώτα, ὦ Σόλων.

ΣΟΛΩΝ

Πότεροι ἀμείνους, οἱ σῴζοντές τινας ἢ οἱ σῳζόμενοι πρὸς αὐτῶν;

ΚΡΟΙΣΟΣ

Οἱ σῴζοντες δηλαδή.

ΣΟΛΩΝ

Ἆρ' οὖν, ἢν Κῦρος, ὡς λογοποιοῦσί τινες, ἐπίῃ Λυδοῖς, χρυσᾶς μαχαίρας σὺ ποιήσῃ τῷ στρατῷ, ἢ ὁ σίδηρος ἀναγκαῖος τότε;

ΚΡΟΙΣΟΣ

Ὁ σίδηρος δῆλον ὅτι.

ΣΟΛΩΝ

Καὶ εἴ γε τοῦτον μὴ παρασκευάσαιο, οἴχοιτο ἄν σοι ὁ χρυσὸς ἐς Πέρσας αἰχμάλωτος.

ΚΡΟΙΣΟΣ

Εὐφήμει, ἄνθρωπε.

ΣΟΛΩΝ

Μὴ γένοιτο μὲν οὕτω ταῦτα· φαίνῃ δ' οὖν ἀμείνω τοῦ χρυσοῦ τὸν σίδηρον ὁμολογῶν.

ΚΡΟΙΣΟΣ

Οὐκοῦν καὶ τῷ θεῷ σιδηρᾶς πλίνθους κελεύεις ἀνατιθέναι με, τὸν δὲ χρυσὸν ὀπίσω αὖθις ἀνακαλεῖν;

ΣΟΛΩΝ

Οὐδὲ σιδήρου ἐκεῖνός γε δεήσεται, ἀλλ' ἤν τε χαλκὸν ἤν τε χρυσὸν ἀναθῇς, ἄλλοις μέν ποτε κτῆμα καὶ ἕρμαιον ἔσῃ